Σοὶ δ' αὐτῷ μέγα πῆμ' ἥκει θανάτοιο χέρειον.
Αφροσύνης κακὰ ἔργα, καὶ αἴσχιστα πήματα πάσχεις,
Ος πᾶσιν δαναοῖσιν ἀρήϊον ἔρκος ἐτύχθης.

ΑΛΚΑΙΟΥ.

Αγαγε καὶ ξέρξης πέρσαν στρατὸν ἑλλάδος ἐς γᾶν,
Καὶ τίτος εὐρείας ἄγαγ' ἀπ' ἰταλίας.
Αλλ' ὁ μὲν, εὐρώπᾳ δοῦλον ζυγὸν αὐχένι θήσων
Ηλθεν, ὁ δ', ἀμπαύσων ἑλλάδα δουλοσύνας.

Αδηλον.

Κοίρανος εὐρώπας, ὁ καὶ ἐν ἁλὶ καὶ κατὰ χέρσον
Τόσσον ἄναξ θνατῶν, ζεὺς ὅσσον ἀθανάτων,
Εἰνοδίᾳ τὰ λάφυρα κατὰ θρασέος κεραάδα,
Καὶ τέκνων, καὶ ὅλας γᾶς ἔθετ' ὀδριάδος,
Υἱὸς εὐμμελία δαματρίου. ἁ δὲ φιλίππου
Δόξα πάλαι θείων ἀγχιβέβακε θρόνων.

---

ΕΙΣ ΑΝΤΑΠΟΔΟΣΙΝ, κεφ. ς.

ΕΥΗΝΟΥ.

Κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω
Οσσον ἐπισπεῖσαί σοι τράγε θυομένῳ.

ΛΕΩΝΙΔΟΥ Ταραντίνου.

Ιξαλος εὐπώγων αἰγὸς πόσις ἔν ποτ' ἀλωῇ
Οἴνης τοὺς ἁπαλοὺς πάντας ἔδαψε κλάδους,
Τῷ δ' ἔπος ἐκ γαίης τόσσον ἄπυε, τεῖρε κάκιστε
Γναθμοῖς ἡμέτερον κλῆμα τὸ καρποφόρον.

Ρίζα